PA 258
.V4

1827

LIBRARY OF CONGRESS
00006064589

THE LIBRARY OF CONGRESS

THE LIBRARY OF CONGRESS

DELECTUS

SENTENTIARUM GRÆCARUM,

AD

USUM TIRONUM ACCOMMODATUS:

CUM

Valpy (Richard)

NOTULIS ET LEXICO.

39

EDITIO AMERICANA TERTIA PRIORIBUS EMENDATIOR.



LIBRARY OF CONGRESS
1871
CITY OF WASHINGTON

BOSTONIÆ:

SUMPTIBUS HILLIARD, GRAY, LITTLE, ET WILKINS.

MDCCCXXVII.

PA258
.V4
1827

DISTRICT OF MASSACHUSETTS, to wit:

District Clerk's Office.

Be it remembered, that on the twenty-first day of June, A. D. 1827, in the fifty first year of the Independence of the United States of America, Hilliard, Gray, Little & Wilkins, of the said district, have deposited in this office the title of a book, the right whereof they claim as proprietors, in the words following, *to wit*:—"Delectus sententiarum Græcarum, ad usum tironum accommodatus: cum Notulis et Lexico. Editio Americana Tertia prioribus emendatior." In conformity to the Act of the Congress of the United States, entitled, "An Act for the encouragement of Learning, by securing the copies of maps, charts and books, to the authors and proprietors of such copies, during the times therein mentioned:" and also to an Act entitled, "An Act supplementary to an Act, entitled, An Act for the encouragement of learning, by securing the copies of maps, charts and books, to the authors and proprietors of such copies during the times therein mentioned; and extending the benefits thereof to the arts of designing, engraving and etching historical and other prints."

JOHN W. DAVIS, { *Clerk of the District of Massachusetts.*

435

E typis Codmanianis.....Flagg et Gould, Typographis.

ADVERTISEMENT.

Mr. Priest, of Scarning, published some years ago a work under the title of a *Greek Delectus.* The selection of passages from the Greek writers, and the grammatical and philological Notes, which followed them, were highly creditable to the diligence and learning of the author. The present little volume would have presented only a new edition of the work, of which the author parted with the copyright, had it not been found, on experience, too difficult for initiation. This may therefore be considered as a new Book, " intended," to use the words of the original author, " not for a display of knowledge, but to render the introduction to the Greek language as easy as possible, and to assist beginners only."

DELECTUS.

VERBS REGULAR.

Ἐγὼ τύπτω.
Σὺ λέγεις.
Ἡ χεὶρ γράφει.
Σφῶϊ λέγετον.
Τῷ ὀφθαλμῷ βλέπετον. 5
Ἡμεῖς πέμπομεν.
Ὑμεῖς ἄγετε.
Παῖδες μένουσι.
Ἐγὼ ἀκούω.
Λίκη λάμπει. 10
Κελεύει ὁ Θεός.
Ἀδελφῷ πράττετον.

Οἱ λύκοι κλέπτουσι.

Ἐγὼ ἥκω.

Λέοντε φυλάσσετον.

Οἱ πολέμιοι φεύγουσι.

Ἡ ἀρετὴ λάμπει. 5

Ἐγὼ λέγω σοι.

Τί πράσσεις;

Μήτηρ με πέμπει.

Διδάσκομεν ἀλλήλους.

Ὑμεῖς βλέπετε καὶ ἀκούετε. 10

Γράφουσί τινες καὶ λέγουσι.

Κατὰ Θεὸν ἥκεις.

Τίς σε τίει;

Ὀφθαλμῷ πυρὶ λάμπετον.

Ἀληθῆ λέγεις. 15

Τὸ βρέφος μένει ἔνδον.

Τί με διώκεις;

Πέμπω σοι τόδε στέφος.

Θεοῦ λέγεις πρόνοιαν.

Οὐ μένει νὺξ βροτοῖς. 20

Λύκος ἀετὸν φεύγει.

Νεφέλη ἄγει λαίλαπα.

Ὁ χρόνος διδάσκει πάντα.

Τὸν βίον τείνομεν ἐλπίσι.

Ὁ λύκος τὴν αἶγα διώκει. 25

Σοφία μόνη ἀθάνατος μένει.
Ἥλιος νύξ τε δουλεύει βροτοῖς.
Πάντα χρόνος εἰς λήθην ἄγει.
Ὁ Νεῖλος τρέφει τὸν κροκόδειλον.
Ἀνὴρ ἄνδρα, καὶ πόλις σώζει πόλιν. 5
Ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω.
Ἡ πενία μόνη τὰς τέχνας ἐγείρει.
Οὐδὲν χωρὶς δαίμονος σθένει βροτός.
Ἄγει πρὸς τὸ φῶς τὴν ἀλήθειαν ὁ χρόνος.
Χεὶρ χεῖρα νίπτει, δάκτυλος δὲ δάκτυλον. 10
Ἐγὼ νέμω ἀνὰ ὄρεα τὰς καλὰς αἶγας.
Ἔρωτα παύει λιμὸς, εἰ δὲ μὴ, χρόνος.
Ἀκμάζει τὰ ἄνθη, καὶ ἐγὼ στεφάνους πλέκω.
Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί.
Πάντα ὁ μέγας χρόνος μαραίνει τε καὶ φλέγει. 15
Τυρὸς οὐ λείπει με, ὅτε ἐν θέρει, οὔτε ἐν ὀπώρῃ,
οὐ χειμῶνος ἄκρου.

Ἐγὼ σε ἔλειπον.
Ἀληθῆ ἔλεγες.
Λύκος με ἐδίωκε. 20
Τὴν νῆσον ἐλειπέτην.
Σὲ ἐτίομεν.

Θάνατον ἦγε μοῖρα.
Ἡμεῖς ἐφυλάττομεν.
Οἱ πολέμιοι ἔφευγον.
Οἱ γίγαντες ἠκόντιζον.

Ἐγὼ ἄξω σε. 5
Φράσω σοι.
Τί ποιήσω;
Τί δράσεις;
Οὐ κτενῶ σε.
Ἀκολουθήσω σοι. 10
Τὴν θύραν κόψω.
Νὺξ στρατὸν σώσει.
Πέμψω τὸν υἱόν μου.
Ὀρθῶς πράξομεν τοῦτο.
Λέξω σοι τὴν ὁδόν. 15
Τιμωρία ἥξει ἐκ τοῦ Θεοῦ.
Ἀγαπήσεις τὸν Κύριον τὸν Θεόν σου.
Ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε.

Ἤκουσα φωνῆς.
Ἐλάλησεν ὁ Θεός.
Καλῶς ἔλεξας.
Ἀγρὸν ἠγόρασα.
Ἐφώνησεν ἀλέκτωρ. 5
Ἔλειψε θυμὸς ὀστέα.
Κράτος Θεὸς ὤπασε.
Φῶς ἔλαμψεν ἐκ τοῦ οὐρανοῦ.
Ἥρα δύο δράκοντας ἔπεμψε.
Πλούτων Περσεφόνην ἥρπασε. 10
Ἕκτωρ Αἴαντι ξίφος ὤπασε.
Ἄνδρα φέριστον ἀθάνατοι ἔτισαν.
Ἡ Ἀθηνᾶ ἐφύτευσε τὴν ἐλαίαν.
Ἐμείδησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ἄνθρωπος ἐφύτευσεν ἀμπελῶνα. 15
Τῶν χηνῶν ἕνα μοι ἀετὸς ἥρπασε.
Ὁ Ἑρμῆς ἔκλεψε βοᾶς, ἃς ἔνεμεν Ἀπόλλων.
Ἐκ πυρὸς Ἰλιακοῦ ἥρπασεν Αἰνείας πατέρα.
Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. 20
Ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν.
Ὁ Ἰωάννης ἔπεμψέ τινας τῶν μαθητῶν αὐτοῦ πρὸς τὸν Ἰησοῦν.
Ἄγγελος Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς. 25

Ἡ τῶν στρατηγῶν ὁμόνοια μάλιστα τοὺς πολεμίους ἐνίκησε.

Ὁ Κάδμος ἐκόμισεν ἐκ Φοινίκης τὰ γράμματα εἰς τὴν Ἑλλάδα.

Ὁ Θεὸς ἐποίησε τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. 5

Ὁ γέγραφα, γέγραφα.

Δένδρα πέφυκε.

Ἡ πίστις σου σέσωκέ σε.

Τὸν μὲν ψευδῆ μεμίσηκα, τὸν δὲ ἀληθῆ πεφίληκα. 10

Οὐκ ἐγὼ ἀπὸ δρυὸς πέφυκα, ἀλλ᾽ ἐξ ἀνθρώπων.

Αὐτὸς ἐγεγράφει.

Κισσὸς ἐπεφύκει.

Ἐδεδειπνήκεσαν οἱ στρατιῶται. 15

Ὁ πατὴρ καὶ μήτηρ ἐτετελευτήκεσαν.

Ἔφυγον κακόν.

Φίλον ἔκτανες.

Θυμὸς ἔλιπεν ὀστέα.

Οὐδεὶς τὸν θάνατον ἔφυγε.
Ἔκτανεν Ὀρέστης μητέρα.
Ὁ Κῦρος ποταμὸν ἔτραπε.
Μῦθον αὐτὸς ἔφραδε.
Ἡ ναῦς ἔταμε θάλασσαν. 5
Ἔφθαρε πῦρ ὕλην.
Ἔτραπε πολλοὺς χρυσός.
Αὐτῷ ἐλιπέτην ἅλα.
Ἵπποι ἔλιπον ἅρματα.

Χαῖρε, κύριε. 10
Ἔνδον βλέπε.
Ἵππον ἄγε.
Σπεῦδε βραδέως.
Φεῦγε ἀδικίαν.
Νίπτε τὰς χεῖρας. 15
Ἄνοιγε τὴν θύραν.
Κεφαλὴν τρέπε.
Δίδασκέ με.
Ὄνομα σὸν λέγε μοι.
Γύμναζε σεαυτὸν πόνοις. 20
Ἄγετε, ἐσθίετε βρώμην.
Φράσον μοι.
Σῶσον σεαυτόν.

Μεῖνον μεθ᾽ ἡμῶν.

Σίγησον, ὦ παῖ.

Τοῦτο ποίησον, ὅ σοι λέγομεν.

Μὴ λύπησον τὸν πατέρα.

Φράσατέ μοι δόμους. 5

Λίπε με.

Ἰατρέ, θεράπευσον σεαυτόν.

Λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου.

Ἄνδρες, ἀκούσατε τοὺς λόγους μου.

Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. 10

Ὦ βασιλεῦ, δι᾽ αἰῶνος βασιλεύοις.

Σὲ φυλάττοι ὁ Θεός.

Μηδὲν πράξῃς κακόν.

Μὴ φονεύσῃς· μὴ κλέψῃς.

Μηδενὶ συμφορὰν ὀνειδίσῃς. 15

Μὴ ἔριζε τοῖς γονεῦσι, κἂν δίκαια λέγῃς.

Πῇ φύγω;

Μή με κτάνητε.

Θέλω λέγειν.

Σὲ κελεύω μένειν. 20

Οὐκ ἔθελε λιπεῖν ἵππους.

Αὐτὸν οὐ τρέφων, κύνας θέλεις τρέφειν.

Ἀλέξανδρος ἐτελεύτησε βασιλεύσας ἔτη δώδεκα.

Τὸν τετελευτηκότα μακάριζε.

Λέγεταί τι καινόν;
Οὔ μοι τρέπεται νόος.
Ἐξ ἀνέμων θάλασσα ταράσσεται.
Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
Ἄστρα φαίνεται ἐν οὐρανῷ ἀμφὶ σελήνην. 5
Ἐμοὶ πάντα φόβου πλέα ἐν ὄμμασι φαίνεται.
Οἶος ἐλειπόμην.
Πυρὰ ἐφαίνετο.
Ἐγὼ νένιμμαι.
Τέλος πέφανται. 10
Πόλεμος πέπαυται.
Πεπλήρωται ἡ γραφή.
Ἔγχος λέλειπταί σοι.
Πάντα πεποίηται καλῶς.
Πάντα εὖ πέπρακται. 15
Τί γέγραπται ἐν τῷ νόμῳ;
Τὸ βέλος τετόξευται.
Πέφανται μέγα ἔργον.
Κραδία μοι ἐτέτραπτο.
Οἱ στρατιῶται ἐπεφόβηντο. 20
Πάντα πεπράξεται.
Ἐμοὶ λελείψεται ἄλγεα.
Ἠγέρθη ὁ Κύριος.
Ἐσκοτίσθη ὁ ἥλιος.
Ὤφθη αὐτῷ ἄγγελος. 25

Ἐκινήθη ἡ πόλις ὅλη.

Ἐπαιδεύθη Μωσῆς πάσῃ σοφίᾳ τῶν Αἰγυπτίων.

Ῥώμη ὑπὸ Ῥώμου καὶ Ῥωμύλου ἐκτίσθη.

Ἐπλήσθησαν αἱ ἡμέραι.

Πίστευσον ἐπὶ τὸν Κύριον, καὶ σωθήσῃ. 5

Ὁ λόγος λαληθήσεταί σοι.

Οἱ πολέμιοι φοβηθήσονται.

Μένω ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται.

Ὄρεα ἐφάνη.

Ἕκτωρ ἐδάμη ὑπ' Ἀχιλλέος. 10

Αἱ πράξεις ἐφάνησαν.

Κατὰ τὸν κατακλυσμὸν ἐφθάρη τὰ πλεῖστα τῶν ζώων.

Ἀρετὴ φανήσεται ἰσχυρότερον ἀδικίας.

Μὴ φοβήθητε. 15

Σέλας πυρὸς φανείη ναύταις.

Κελεύεις με τύπτεσθαι.

Οἱ νόμοι διδάσκουσιν ἄρχειν τε καὶ ἄρχεσθαι.

Τί τεταραγμένοι ἐστέ;

Ἐπιγραφὴ ἦν γεγραμμένη. 20

Πάντα ἐστὶ πεπραγμένα.

Οἱ γίγαντες ἠκόντιζον εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας.

Τέρπομαι φρένα.
Νιφθῆναι βούλομαι.
Βούλομαι ὕδατός σε γεῦσαι.
Ὁ λύκος ἐπὶ τὰ πρόβατα τρέπεται.
Ἡ ψυχὴ οὐ δέχεται θάνατον. 5
Μέλισσαι πέτονται ἐπ' ἄνθεσι.
Ἐγὼ οἶδα τοῦτο.
Οὐκ οἶδα ὃ λέγεις.
Οὐκ οἶσθα ὅ τι λέγεις.
Οἶσθα τίς εἰμι; 10
Δράκοντα δέδοικε πελειάς.
Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.
Πᾶσαν ἀλήθειαν μυθήσομαι, ὥς με κελεύεις.
Ἥψω τῆς ἐμῆς χειρός.
Μὴ σὺ ἐλούσω; 15
Τίς ἥψατό μου;
Θεὰ ζώνην ἐλύσατο.
Ἐγεύσατο τὸ ὕδωρ.
Ὀδυσσεὺς φύλλοις ἐκαλύψατο.
Ὁ Δημοσθένης ἐστεφανώσατο. 20
Πάντες ἐλούσαντο.
Οἱ πολέμιοι ἐτάξαντο.
Λόγισαι πρὸ ἔργου.
Ἐτράπετο φρήν.
Οἱ πολέμιοι ἐτράποντο καὶ ἔφυγον. 25

Τῷ πατρί σου πείθου.

Ἄγεσθαι γυναῖκα θέλω.

Μῦθον βούλομαι λέξαι τιν᾽ ὑμῖν, ὃν ποτ᾽ ἤκουσα αὐτός.

The Verb εἰμί. 5

Ἐγὼ ἄνθρωπός εἰμι.

Χάριτι Θεοῦ εἰμι ὅ εἰμι.

Οὐκ εἴμ᾽ οἰνοπότης.

Τίς εἶ σύ;

Οὐκ εἶ κακὸς σύ. 10

Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ.

Τυφλὸς εἶ τά τε ὦτα, τόν τε νοῦν, τά τε ὄμματα.

Ὁ παῖς τοῦ Φιλίππου ἑκάστης ἡμέρας ἔλεγεν αὐτῷ, Φίλιππε, ἄνθρωπος εἶ.

Ὄνομά σοι τί ἐστι; 15

Διὸς κράτος ἐστὶ μέγιστον.

Οὐδὲν γλυκιόν ἐστι πατρίδος.

Κέρδος ἐστὶν ὁ θάνατος.

Μέγας ἐστὶ Θεὸς, οὐδὲ γηράσκει.

Ἀεὶ κρατιστόν ἐστιν ἀληθῆ λέγειν. 20

Ἡ πατρίς ἐστι φίλτατον βροτοῖς.
Ἀναρχίας μεῖζον οὐκ ἔστι κακόν.
Ποικίλον πρᾶγμα τύχη ἐστί.
Θησαυρὸς μέγας ἐστὶν ἀγαθὸς φίλος.
Τίς ἐσθ' ὁ κόπτων τὴν θύραν; 5
Ὁ παλαιὸς οἶνος χρηστότερός ἐστι.
Σοφόν τι χρῆμα ὁ ἄνθρωπός ἐστι.
Κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
Τὰ ἀδύνατα διώκειν μανικόν ἐστι.
Ὅπλον μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς. 10
Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.
Βραχὺς μέν ἐστιν ὁ βίος, ἡ δὲ τέχνη μακρά.
Πόλλ' ἄελπτά ἐστιν ἐν τῷ μακρῷ βίῳ.
Πόση ἐστὶν ἡ ὥρα; πρώτη, δευτέρα, τρίτη.
Εἷς ἐστι Θεὸς, ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν. 15
Ὁ Θεὸς ἀληθής ἐστιν ἔν τε ἔργῳ καὶ ἐν λόγῳ.
Πλεονεξία μέγιστον ἀνθρώποις κακόν ἐστι.
Σοφία μόνη τῶν κτημάτων ἀθάνατόν ἐστι.
Ἀρχὴ μὲν φιλίας ἐστὶν ἔπαινος, ἔχθρας δὲ ψόγος. 20
Μέγιστόν ἐστι νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι.
Ὁ κύων πρὸς τὰς θήρας ἐστὶ χρήσιμος καὶ πρὸς τὴν φυλακήν.
Οὔτε ὕπνος, οὔτε ἔαρ, γλυκερώτερόν ἐστιν, οὔτε μελίσσαις ἄνθεα, ὅσσον ἐμοὶ Μῶσαι φίλαι. 25

Ὦ ξένοι, τίνες ἐστέ;
Γένος τοῦ Θεοῦ ἐσμεν.
Πέντε εἰσὶν αἰσθήσεις, ὅρασις, ἀκοὴ, ὄσφρησις, γεῦσις, ἁφή.
Ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον. 5
Ἥρος ἦν ἀρχὴ, καὶ πάντα ἤκμαζεν ἄνθη.
Οὐρανός τε γαῖά τε ἦν μορφὴ μία.
Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος.
Ἐν ἀλλοτρίοις παραδείγμασι παίδευε σεαυτὸν, 10 καὶ ἀπαθὴς τῶν κακῶν ἔσῃ.
Ἔσεται χαρά σοι.
Οὐδεὶς ἄδικος ἔσται μοι φίλος.
Ἐχθρὸς μὲν ἔσται τῷ Θεῷ ὁ ἄδικος, ὁ δὲ δίκαιος, φίλος. 15
Λιμοὶ καὶ λοιμοὶ ἔσονται.
Φίλος ἔστω, οὐ μόνον γλώσσῃ, ἀλλὰ καὶ τῷ ἔργῳ.
Ἄνδρες ἐστὲ, φίλοι.
Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής. 20
Οὐκ οἶσθα ὅτι τὸ φιλάργυρον εἶναι ὄνειδός ἐστι;
Οὐδεὶς ἐπλούτησε ταχέως, δίκαιος ὤν.
Ἀθάνατον ἔχθραν μὴ φύλαττε, θνητὸς ὤν.
Ἡ ψυχὴ ἀθάνατος φαίνεται οὖσα. 25

COMPOUND VERBS.

Πάρεστιν ἐλπὶς ἑκάστῳ.

Δίκη οὐκ ἔνεστιν ὀφθαλμοῖς βροτῶν.

Ἀνέτεινε τὰς χεῖρας πρὸς τὸν οὐρανόν.

Λέξον μοι πόσα σοι χρήματ᾽ ἐστὶ, σὺν τοῖς θησαυ- 5
ροῖς, οἷς ὁ πατὴρ κατέλιπε.

Προσκυνήσεις Κύριον τὸν Θεόν σου.

Ὁ Ἡρακλῆς ὑπέμεινε μεγάλους πόνους καὶ κιν-
δύνους.

Ὁ Ἡρακλῆς ἐτέλεσε δώδεκα ἆθλους, οὓς ὁ Εὐ- 10
ρυσθεὺς προσέταξε.

Χίων ἀπέκρυψε τὰ ὅπλα καὶ τοὺς ἀνθρώπους.

Διέταξεν ὁ Θεὸς θέρος εἶναι καὶ χειμῶνα.

Ὁ Κύριος ἀπέσταλκέ με.

Ὕλη ἀμφεπεφύκει. 15

Ὁ πατήρ σε κατέλιπε.

Δεξιὰν πρότεινε χεῖρα.

Οἱ παλαιοὶ ζωγράφοι οὕτως ἀτέχνως εἴκαζον τὰ
ζῶα, ὥστε ἐπιγράφειν αὐτοῖς,—τοῦτο βοῦς,
ἐκεῖνο ἵππος, τοῦτο δένδρον. 20

Ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Ἐπὶ βιβλιοθήκης ἐπιγέγραπται, Ψυχῆς Ἰατρεῖον.

Ἀπεκρίθη ὁ Ἰησοῦς.
Συνήχθησαν τὰ ἔθνη.
Ἀπεστάλη ὁ ἄγγελος ἀπὸ τοῦ Θεοῦ.
Μόνοι καταλελειμμένοι ἦσαν.
Ἀπεκρίνατο ὁ Κῦρος. 5
Θέτις ἀνεδύσατο κῦμα θαλάσσης.
Ὁ Θεὸς ἐξελέξατο τοὺς πατέρας ἡμῶν.
Μᾶλλον ἀποδέχου δικαίαν πενίαν ἢ πλοῦτον ἄδικον.

CONTRACTED VERBS. 10

Ἐγὼ οὐχ ὁρῶ σε.
Τιμῶ τὸν πατέρα μου.
Σὺ ἀγαπᾷς με;
Σὺ οἶδας ὅτι φιλῶ σε.
Πάντα λίθον κινεῖς. 15
Ψεῦδος μισεῖ πᾶς σοφός.
Τίς φοβεῖ σε φήμη;
Πᾶν ἔπος τελεῖ ὁ Θεός.
Μία χελιδὼν οὐ ποιεῖ ἔαρ.

Ὄνος, λύρας ἀκούων, κινεῖ τὰ ὦτα.

Ὄμμα δίκης καθορᾷ πάντα τὰ γιγνόμενα.

Λαμπρὸν ἡλίου σέλας κινεῖ φθέγματα ὀρνίθων.

Ἡ σελήνη οὐ μόνον τῆς νυκτὸς, ἀλλὰ καὶ τοῦ μηνὸς, τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ. 5

Ἔστι μέγας ἐν οὐρανῷ Θεὸς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει.

Μικρὸν ζῶμεν χρόνον.

Ζῶμεν, οὐχ ὡς θέλομεν, ἀλλ᾽ ὡς δυνάμεθα.

Βομβοῦσι μέλιτται. 10

Πάντες ἐν Θεῷ ζῶσι.

Πολλοὶ μὲν πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται.

Κατασκευάζουσιν οἱ Αἰγύπτιοι ἐκ τῶν κριθῶν πόμα, ὃ καλοῦσι ζύθος. 15

Ὁ Ἀπόλλων με φιλέει, αἱ Μοῦσαί με φιλέουσι.

Ἀριστοτέλης ἐκάλει στοιχεῖα, γῆν, ὕδωρ, πῦρ, ἀέρα.

Περικλῆς ἤστραπτεν, ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα. 20

Στέφανος πλήρης χάριτος καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

Ἀθάνατον πρῶτα Θεὸν τίμα.

Καταφρόνει θάνατον.

Ἀκολούθει μοι. 25

Μηδενὶ φθόνει.

Ποίει μηδὲν μετ' ὀργῆς.

Οὐκ ἐθέλω πλουτεῖν.

Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν.

Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως. 5

Πολλοί σε μισήσουσιν, εἰ σεαυτὸν φιλῇς.

Πολλὰ λαλεῖν κακόν ἐστι.

Σιγᾷν ἄμεινόν ἐστι.

Μὴ σπεύδετε πλουτεῖν.

Οὐ τὰ κάτω, ἀλλὰ τὰ ἄνω φρονεῖν δεῖ. 10

Ἀσφαλέστερον τοῦ λέγειν τὸ σίγᾷν.

Ἡδὺ μέν ἐστι θάλατταν ἀπὸ γῆς ὁρᾷν.

Καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς.

Θέλεις ἅμα σήμερον ἡμῖν δειπνεῖν;—εἰ σὺ θέλεις. 15

Τοὺς φίλους ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοις ὠφελεῖν.

Δίκαιόν ἐστι ταῦτα ποιεῖν, ἃ οἱ ἄρχοντες προσέταξαν.

Ἰησοῦς ἥψατο τῆς σοροῦ, καὶ ὁ νεκρὸς ἤρξατο 20 *λαλεῖν.*

Πτολεμαῖος ὁ Λάγου ἔλεγεν, ἄμεινον εἶναι πλουτίζειν ἢ πλουτεῖν.

Ἄγις ὁ βασιλεὺς ἔφη, τοὺς Λακεδαιμονίους οὐκ

ἐρωτᾷν πόσοι εἰσὶν, ἀλλὰ ποῦ εἰσιν, οἱ πολέμιοι.

Ὅμηρός μοι δοκεῖ τοὺς μὲν ἀνθρώπους θεοὺς πεποιηκέναι, τοὺς θεοὺς δὲ ἀνθρώπους.

Ἀγαπῶν με διατέλει. 5

Φιλῶν ἃ μὴ δεῖ, οὐ φιλήσεις ἃ δεῖ.

Οὐδεὶς ἐλεύθερος, ἑαυτοῦ μὴ κρατῶν.

Μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει.

Ὁ μισῶν ἀδικίαν μακρὸν βιώσεται χρόνον.

Φωκίων ὁ Ἀθηναῖος ὑπ' οὐδενὸς οὔτε γελῶν 10 ὤφθη, οὔτε δακρύων.

Ἀδικεῖ πολλάκις οὐ μόνον ὁ ποιῶν τι, ἀλλὰ καὶ ὁ μὴ ποιῶν τι.

Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη.

Ὁρᾶται χερσόνησος, καὶ λιμὴν κάλλιστος. 15

Εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας.

Πλάτων ἔφη, τοὺς ἀγαθοὺς ἄνδρας βίου μὴ μακροῦ, ἀλλὰ λαμπροῦ, δεῖσθαι.

Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον ἄρξῃς σεαυτὸν αἰδεῖσθαι. 20

Καλῶς ἐστι τὸ ἐπικαλεῖσθαι τὸν Θεὸν ἐν ἀρχῇ τοῦ δείπνου καὶ τοῦ ἀρίστου.

Ἥρος ἀρχομένου, καὶ τῆς μὲν χίονος λυομένης, τῆς δὲ γῆς γυμνουμένης, καὶ τῆς πόας ἀνθούσης, οἱ νομεῖς ἄγουσι τὰς ἀγέλας εἰς νομήν. 25

Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος.

Τὸν μὲν Θεὸν φοβοῦ, τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου.

Verbs in μι. 5

Διδωμί σοι ἐμαυτὸν φίλον.

Τί φῇς;

Οὐδὲν ἄνευ πόνου Θεὸς δίδωσιν ἀνθρώποις.

Αὐτὸς ἔφη.

Δῶρόν σοι ἐγὼ τοῦτο δώσω. 10

Δείξομεν τοῖς πολεμίοις ἄλλους αὐτῶν κρείττους, ἢν Θεὸς θέλῃ.

Ἔδωκας ἡμῖν χαράν.

Θεὸς ἔδωκε κῦδος.

Μῆνις Ἀχιλλέος μυρία Ἀχαιοῖς ἄλγεα ἔθηκε. 15

Ἀριστοτέλης ἔφη τὰς μὲν ῥίζας τῆς παιδείας εἶναι πικρὰς, γλυκεῖς δὲ τοὺς καρπούς.

Ἐν τοῖς φίλοις ὑμᾶς ἔθεμεν.

Ἵπποι παρ' ἅρμασιν ἔστησαν.

Γνῶθι σεαυτόν.

Δὸς τὴν χεῖρά μοι.

Δεῖξον ἐμοὶ τὴν χεῖρά σου.

Δὸς ποῦ στῶ, καὶ τὴν γῆν κινήσω.

Δεῖξον φάρμακον νόσου. 5

Δίδοτε, καὶ δοθήσεται ὑμῖν.

Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.

Ἐκέλευσε στῆναι τὸ ἅρμα.

Θεοῦ διδόντος, οὐδὲν ἰσχύει φθόνος. 10

Θεοῦ οὐ διδόντος, οὐδὲν ἰσχύει πόνος.

Λυκοῦργον, τὸν θέντα τοῖς Σπαρτιάταις τοὺς νόμους, θαυμάζω.

Τόξον ἐπιτεινόμενον ῥήγνυται.

Δίδοται τὸ πνεῦμα. 15

Ξίφος αὐτὸς ἔθετο.

VERBS IRREGULAR.

Χάριν σοι ἔχω.

Ὀρθῶς γράφω καὶ ἀναγινώσκω.

Τίκτει εἰρήνη πλοῦτον. 20

Καλῶς ἔχει.

Ἵππος με φέρει.

Ἐλέφας μῦν οὐ δάκνει.

Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.

Οἶνος πυρὶ ἴσον ἔχει μένος.

Ὃν φιλεῖ Θεὸς, ἀποθνήσκει νέος. 5

Δικαία γλῶσσα ἔχει κράτος μέγα.

Πονοῦντι Θεὸς συλλαμβάνει.

Ἡδονὴν φεῦγε, ἥτις λύπην τίκτει.

Ὁ Θεὸς ἀρχήν τε καὶ τελευτὴν, καὶ μέσα τῶν ὄντων ἔχει. 10

Ἡ μέλιττα ἀφ᾽ ἑκάστου ἄνθους τὰ χρήσιμα λαμβάνει.

Ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ.

Πολλοῖς ἡ γλῶσσα προτρέχει τῆς διανοίας.

Τὸ μὲν χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν. 15

Ὁ Διογένης ἔλεγεν ὅτι οἱ μὲν ἄλλοι κύνες τοὺς ἐχθροὺς δάκνουσιν, ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω.

Μίδας ὄνου ὦτα εἶχε. 20

Κόρος ὤλεσεν ἄνδρας πλείους λιμοῦ.

Τάλαινα Τροία, μυρίους ἀπώλεσας μιᾶς γυναικὸς χάριν.

Τέθνηκεν ἡ θυγάτηρ σου.

Ἐν πυρὶ βέβηκας. 25

Τέθνηκε Φίλιππος ; οὐ μὰ Δί, ἀλλ' ἀσθενεῖ.

Ἦλυθες ἐκ πολέμου.

Ἀνὴρ ἀπέθανε.

Τί κακὸν ἔπαθες ;

Ἐξέπεσε δάκρυ. 5

Ὡς εἰπὼν, ὁ μὲν ἔβη δόμον εἴσω.

Προσέδραμεν ὁ Φίλιππος.

Ὁ Θεὸς ἦλθεν ἐπὶ γῆν ἐξ οὐρανοῦ.

Θνητοῦ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς.

Εὖρός τε, Νότος τ' ἔπεσον, Ζέφυρός τε καὶ Βο- 10
ρέας.

Ἦλθε λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου.

Ὁ Σωκράτης οὐ τρέσας τὸ φάρμακον ἔπιε.

Ζεὺς ἐβρόντησε, καὶ κατέβαλε κεραυνόν.

Ὁ Ἄδωνις θηρεύων ὑπὸ συὸς πληγεὶς ἀπέθανε. 15

Τὸν καπνὸν φεύγων, εἰς τὸ πῦρ ἔπεσον.

Ἣν ἔλαχες Σπάρτην, ταύτην κόσμει.

Ὤδινεν ὄρος, κἆτα μῦν ἀπέτεκε.

Ἐνέπεσε νόσος τοῖς ἀνθρώποις.

Γάϊος Καῖσαρ, Φαρνάκην νικήσας, πρὸς τοὺς 20
φίλους ἔγραψε, Ἦλθον, εἶδον, ἐνίκησα.

Ἔπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς
ἀκούοντας τὸν λόγον.

Ὁ κόσμος σκηνὴ, ὁ βίος πάροδος· ἦλθες, εἶδες,
ἀπῆλθες. 25

Νουμᾶς Ῥωμαίους ἐκ πολέμου καὶ φόνου μετέβαλεν εἰς εἰρήνην καὶ νόμους.

Τῆς ὑγιείας ἐπιμέλειαν ἔχε.

Ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.

Ἐὰν ἔχωμεν χρήματα, ἕξομεν φίλους. 5

Θάνατος καὶ ζωὴ, πόνος καὶ ἡδονὴ, πλοῦτος καὶ πενία,—πάντα ταῦτα συμβαίνει τοῖς τε ἀγαθοῖς καὶ τοῖς κακοῖς.

Φιλεῖ τίκτειν ὕβρις ὕβριν.

Θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς. 10

Οὐκ ἔστιν ἐν πολέμῳ δὶς ἁμαρτάνειν.

Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον.

Κακὸν ἄνδρα χρὴ κακῶς πάσχειν ἀεί.

Τῶν ἰατρῶν εὐχόμεθα μηδέποτε χρείαν ἔχειν.

Ἑτοίμος εἰμι καὶ ἀκούειν καὶ μανθάνειν. 15

Χίλων ἐρωτηθεὶς τί χαλεπώτατον, τὸ γινώσκειν ἑαυτὸν, ἔφη.

Ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι, τὸν εὐγενῆ χρή.

Βούλει μαθεῖν. 20

Οἴκαδ' ἐλθεῖν βούλομαι.

Δεινόν ἐστι θανεῖν μετὰ κύμασι.

Ἰδεῖν σε βούλομαι.

Πᾶσι θανεῖν ὀφείλεται.

Δεῖ ἡμᾶς ὑπὲρ τοῦ ὀνόματος τοῦ Θεοῦ πολλὰ παθεῖν. 25

Βούλομαι μᾶλλον παθεῖν κακὸν, ἢ κακῶς δρᾶσαι.

Παρὰ τοῦ Θεοῦ ἐστι, τὸ ἀγαθοὺς πάππους ἀγαθοὺς γονέας, ἀγαθὴν ἀδελφὴν, ἀγαθοὺς διδασκάλους, ἀγαθοὺς φίλους, ἀγαθὰ πάντα σχεῖν. 5

Ὀδυσσεὺς, κακὰ πολλὰ παθὼν, οἴκαδ' ἐνόστησε.

Λέων ἐχάρη, μεγάλῳ ἐπὶ σώματι κύρσας, εὑρὼν ἢ ἔλαφον ἢ αἶγα.

Πεσοῦσα χιὼν πολλὴ πάσας ἀπέκλεισε τὰς ὁδούς· ἡ γῆ πᾶσα ἀφανὴς ἦν. 10

Ἡ ἄμπελος, ἔκ τε γῆς καὶ ὄμβρου λαμβάνουσα τὴν αὔξησιν, καρποφορεῖ τὸν οἶνον.

Βρέφος ἐσορῶ φέροντα τόξον.

Ἅπαντα ποίει ὡς μηδένα λήσων. 15

Τῶν ἐν Θερμοπύλαις θανόντων εὐκλεὴς μὲν ἡ τύχη, κάλὸς δὲ ὁ πότμος, βωμὸς δὲ ὁ τάφος.

Ἐκ νεφέλης φέρεται χιόνος μένος ἠδὲ χαλάζης.

Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. 20

Ἐγὼ τεθνήξομαι μετ' ὀλίγον.

Οὐδὲν γλύκιον πατρίδος γίνεται.

Ἐν ὀργῇ πάντα γίγνεται κακά.

Πολλὰ μὲν ἐκ θαλάσσης, πολλὰ δὲ ἐκ χέρσου κακὰ γίγνεται θνητοῖς. 25

Πέπονθα δεινά.

Πάντα γέγονεν ὥς ἔδοξε τῷ Θεῷ.

Οἱ ἄνθρωποι γεγόνασιν ἀλλήλων ἕνεκεν· δίδασκε οὖν, ἢ φέρε.

Ἐλεύσομαι πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος. 5

Διόνυσος εὑρετὴς ἀμπέλου ἐγένετο.

Ὁ ἄριστος ἐν τοῖς Ἕλλησι ῥήτωρ ἐγένετο Δημοσθένης.

Ὁ Λῖνος παρ' Ἕλλησι πρῶτος εὑρετὴς ἐγένετο μέλους. 10

Ὁ γέρων νέος ἐγένετο· ὁ δὲ νέος ἄδηλον εἰ εἰς γῆρας ἀφίξεται.

Φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε.

Ἐκοιμήσαντο, καὶ ὕπνου δῶρον ἕλοντο. 15

Οἱ Λακεδαιμόνιοι τοῖς τοῦ Λυκούργου νόμοις δυνατώτατοι ἐγένοντο τῶν Ἑλλήνων.

Λῦριον ἴσως ἀποθανῇ.

Ἀνέχου καὶ ἀπέχου.

Εἶπεν ὁ Θεὸς, γενέσθω φῶς, καὶ ἐγένετο· γενέσθω γῆ, καὶ ἐγένετο. 20

Εὖ σοι γένοιτο.

Ἃ δεῖ γενέσθαι, ταῦτα καὶ γενήσεται.

Βραδέως μὲν φίλος γίνου, γενόμενος δὲ πειρῶ διαμένειν. 25

PROMISCUOUS SENTENCES.

Γηράσκω ἀεὶ πάντα διδασκόμενος.

Πατρὸς ἀνάγκη παισὶ πείθεσθαι λόγῳ.

Κακῶς ἀκούειν κρεῖσσον ἢ λέγειν κακῶς.

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν. 5

Οὐ χρὴ παννύχιον εὕδειν βουλήφορον ἄνδρα.

Οὐκ ἐγὼ ἤλυθον δεῦρο μαχησόμενος.

Φίλων ἔπαινον μᾶλλον ἢ σεαυτοῦ λέγε.

Μέμνησο νέος ὢν ὡς γέρων ἔσῃ ποτέ.

Οὐκ έστιν οὐδὲν κρεῖσσον φίλου. 10

Οὐδὲν ἔπραξε. Οὐδὲν ἂν ἔπραξε.

Ἐγὼ οὐχ ὁρῶ ἄνδρ᾽ οὐδέν᾽ ἐνθάδ᾽ ὄντα.

Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν.

Οὐχ οἷός τε εἰμὶ διαφεύγειν τοὺς κινδύνους.

Οὐκ ἔστιν οὐδεὶς ὅστις οὐχ αὐτὸν φιλεῖ. 15

Εἰ ὁ Θεὸς πατὴρ ὑμῶν ἦ, ἠγαπᾶτε ἄν με.

Οὐδεὶς μετ᾽ ὀργῆς οὐδὲν εὖ βουλεύεται.

Εἰ τυρὸν εἶχον, οὐκ ἂν ἐδεόμην ὄψου.

Οὔ κεν αὐτὸς ἔφυγε κῆρα μέλαιναν.

Οὗτοι ἔλεγον ὅτι Κῦρος τέθνηκε. 20

Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερός ἐστι.

Ὁ Εὐριπίδης τραγικώτατος τῶν ποιητῶν φαίνεται.

Οὐ δυνατόν ἐστιν οὐδεπώποτε οὐδέν τούτων πράττειν.

Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον ὅτι κακὸς εἶ. 5

Τὴν πενίαν μακαρίζω μᾶλλον ἢ πλοῦτον ὁμοῦ καὶ φόβον.

Ἦσαν παρὰ Γαλάταις ποιηταὶ μελῶν, οὓς Βάρδους ὠνόμαζον. 10

Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας.

Σωκράτης, ἰδὼν μειράκιον πλούσιον καὶ ἀπαίδευτον,—ἰδού, ἔφη, χρυσοῦν ἀνδράποδον.

Προμηθεὺς, ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας, ἔδωκεν αὐτοῖς καὶ πῦρ, ἐξ οὐρανοῦ κλέψας. 15

Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς ὑπό τινος, τί ἐστι πολέμιον ἀνθρώποις,—αὐτοὶ, ἔφη, αὐτοις.

Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας. 20

Ἐπαμινώνδας ἔλεγε τὸν ἐν πολέμῳ θάνατον εἶναι κάλλιστον.

Ἀγησίλαος ἐρωτώμενος πῶς μεγάλην δόξαν ἐποιήσατο, θανάτου καταφρονήσας, ἔφη. 25

Ἄγις ἐρωτηθεὶς πῶς ἄν τις ἐλεύθερος διαμένοι, —θανάτου καταφρονῶν, ἔφη.

Λεωνίδας, τοῦ Ξέρξου γράψαντος, πέμψον τὰ ὅπλα,—ἀντέγραψεν, μολὼν λάβε.

Περίανδρος, ἐρωτηθεὶς τί ἐστιν ἐλευθερία, εἶπεν, ἀγαθὴ συνείδησις. 5

Σωκράτης, ἐρωτηθεὶς τίς ἀρίστη πόλις, ἐν ᾗ, ἔφη, πλεῖστα ἀρετῆς ἆθλα.

Διογένης, εἰπόντος τινὸς, χαλεπόν ἐστι τὸ ζῆν, οὐκ, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν. 10

Θαλῆς ἐρωτηθεὶς τί σοφώτατόν ἐστι—χρόνος, ἔφη, εὑρίσκει γὰρ τὰ πάντα.

Πυθαγόρας τῶν πόλεων ἐκείνην εἶπεν ἀρίστην, τὴν ἄνδρας ἀγαθοὺς ἔχουσαν.

Ἀρίμνηστος, ἐρωτηθεὶς τί μέγιστον ἀγαθὸν ἀνθρώπῳ, εἶπε, τὸ καλῶς ἀποθανεῖν. 15

Θαλὴς ἐρωτηθεὶς τί κοινότατον, ἀπεκρίνατο, ἐλπίς· καὶ γὰρ οἷς ἄλλο μηδέν, αὕτη πάρεστι.

Ἀριστείδης ὁ δίκαιος ἐρωτηθεὶς τί ἐστι τὸ δίκαιον, τὸ μὴ ἀλλοτρίων ἐπιθυμεῖν, ἔφη. 20

Θησεὺς τὴν Ἀριάδνην ἐν Νάξῳ κατέλιπε καὶ ἐξέπλευσεν· Διόνυσος δὲ αὐτὴν ἀπήγαγεν.

Ὅταν ὁ νοῦς ὑπ᾽ οἴνου διαφθαρῇ, τὰ αὐτὰ πάσχει τοῖς ἅρμασι τοὺς ἡνιόχους ἀποβάλλουσι. 25

Ἀνθρώπυς μὲν ἴσως λήσεις, ἄτοπόν τι ποιήσας,
Οὐ λήσεις δὲ Θεόν.

Κυβερνήτου μὲν ἔργον ἀγαθοῦ εἰς τὰς πνευμάτων μεταβολὰς ἁρμόσασθαι, ἀνδρὸς δὲ σοφοῦ πρὸς τὰς τῆς τύχης. 5

Οὐκ ἔστι θνητῶν ὅς τις ἐστ' ἐλεύθερος,
Ἢ χρημάτων γὰρ δοῦλός ἐστιν, ἢ τύχης.

Παυσανίας, τοῦ ἰατροῦ εἰπόντος αὐτῷ, γέρων γέγονας,—διότι, εἶπεν, οὐκ ἐχρησάμην σοὶ ἰατρῷ. 10

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος,
Ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

Πῶρος ἐρωτηθεὶς ὑπὸ τοῦ Ἀλεξάνδρου μετὰ τὴν μάχην, πῶς σοι χρήσομαι,—Βασιλικῶς, εἶπε. 15

Οὔτε φύσις ἱκανὴ γίνεται τέχνης ἄτερ,
Οὔτε πάνυ τέχνη μὴ φύσιν κεκτημένη.

Περικλῆς, μέλλων ἀποθνήσκειν, ἑαυτὸν ἐμακάριζεν ὅτι μηδεὶς Ἀθηναίων μέλαν ἱμάτιον 20 δι' αὐτὸν ἐνεδύσατο.

Ὅστις φοβεῖται τὸν πατέρα, καὶ σχύνεται,
Οὗτος πολίτης ἀγαθὸς ἔσται.

Λάκων ἐρωτηθεὶς διὰ τί ἀτείχιστός ἐστιν ἡ Σπάρτη,—μὴ ψεύδου, ἔφη, τετείχισται γὰρ ταῖς τῶν οἰκούντων ἀρεταῖς. 5

Οὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις.
Ἐρᾶτε μητρὸς, παῖδες.

Ἀλέξανδρος, ἀκούσας ὅτι Δαρεῖος μυριάδας τριάκοντα εἰς τὴν μάχην ἄγει, ἔφη, εἷς μάγειρος οὐ φοβεῖται πολλὰ πρόβατα. 10

Τοῖσι μὲν εὖ πράττουσιν ἅπας ὁ βίος βραχύς ἐστι·
Τοῖς δὲ κακῶς, μία νὺξ ἄπλετός ἐστι χρόνος.

Πάντα, ὅσα ὁρᾷς, τάχιστα φθαρήσεται, καὶ οἱ φθειρόμενα αὐτὰ ἰδόντες τάχιστα καὶ αὐτοὶ φθαρήσονται. 15

Οὐκ ἔστι παισὶ τούτου κάλλιον γέρας,
Ἢ πατρὸς ἐσθλοῦ καὶ καγαθοῦ πεφυκέναι.

Λεωνίδας, ἀκούσας ἐπισκιάζεσθαι τὸν ἥλιον τῶν Περσῶν τοξεύμασι,—χαρίεν, ἔφη, ὅτι ὑπὸ σκιᾷ μαχούμεθα. 20

Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος·
Κακὸν δὲ καὶ ἐν ἡμέρᾳ γνοίης μιᾷ.

Λάκαινα, προϊόντι τῷ υἱῷ ἐπί πόλεμον, ἀναδιδοῦσα τὴν ἀσπίδα, ταύτην, ἔφη, ὁ πατήρ σοι ἀεὶ ἔσωζε· καὶ σὺ οὖν ταύτην σῶζε, ἢ μὴ ἔσο.

Σώματα πολλὰ τρέφειν, καὶ δώματα πόλλ' ἀνεγείρειν, 5
Ἄτραπὸς εἰς πενίην ἐστὶν ἑτοιμοτάτη.

Ἡ Μήδεια τοὺς παῖδας, οὓς εἶχεν ἐξ Ἰάσονος, ἀπέκτεινε, καὶ λαβοῦσα ἅρμα πτηνῶν δρακόντων, ἐπὶ τούτου φεύγουσα ἦλθεν εἰς Ἀ- 10 θήνας.

Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν,
Ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος, μὴ βούλεται.

Ἀνακρέων, λαβὼν τάλαντον χρυσίου παρὰ τυράννου, ἀπέλυσεν, εἰπὼν, μισῶ δωρεὰν ἥτις 15 ἀναγκάζει ἀγρυπνεῖν.

Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
Κοὐκ ἔστι θνητῶν, ὅστις ἐξεπίσταται
Τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.

Ὁ Ἡρόδοτος κοινὴν Ἑλληνικῶν καὶ βαρβάρων 20 πράξεων ἱστορίαν γράφει, ὁ δὲ Θουκυδίδης πόλεμον ἕνα.

Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν·
Πᾶσιν δ' ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

Αἴσωπος, ὀνειδιζόμενος ὅτι χαλέπην ἔχει τὴν ὄψιν, ἔφη, μή μου τὸ εἶδος, ἀλλὰ τὸν νοῦν πρόσεχε. 5

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς·
Ἢν δὲ μὴ, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

Σόλων, ἐρωτηθεὶς διὰ τί κατὰ τῶν τυπτόντων τοὺς πατέρας ἐπιτίμιον οὐχ ὥρισεν, ἔφη, ὅτι 10 *οὐχ ὑπέλαβεν ἔσεσθαι τοιούτους.*

Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς,
Ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις.

Ἀγησίλαος, ἐπιζητοῦντός τινος τίνα δεῖ μανθάνειν τοὺς παῖδας,—ταῦτα, εἶπεν, οἷς καὶ ἄν- 15 *δρες γενόμενοι χρήσονται.*

Ὁ φθόνος ἐστὶ κάκιστον· ἔχει δέ τι καλὸν ἐν αὐτῷ,
Τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.

Ἄγις, πρὸς τὸν πυθόμενον πόσοι εἰσὶν οἱ Λακε- 20

δαιμόνιοι,—πολλοί σοι, ἔφη, δόξουσιν εἶναι, ἐὰν αὐτοὺς ἴδῃς μαχομένους.

Πολύ γ' ἐστὶ πάντων κτῆμα τιμιώτατον
Ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη.

Ξενοφῶντι θύοντι ἧκέ τις ἄγγελος λέγων, τὸν υἱὸν αὐτοῦ τεθνάναι· κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ θύων. 5

Πλοῦτος ὁ τῆς ψυχῆς, πλοῦτος μόνος ἐστὶν ἀληθής.
Τἄλλα δ' ἔχει λύπην πλείονα τῶν ἀγαθῶν. 10

Πιστοὺς ἡγοῦ, μὴ τοὺς πᾶν ὅτι ἂν λέγῃς ἢ ποιῇς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

Χρὴ δ' οὔποτ' εἰπεῖν οὐδὲν ὄλβιον βροτῶν,
Πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς, 15
Ὅπως περάσας ἡμέραν ἥξει κάτω.

Ἀναξαγόρᾳ τις ἔφη τεθνηκέναι τοὺς δύο παῖδας αὐτοῦ· ὁ δέ, μηδὲν ταραχθεὶς, εἶπεν, ᾔδειν αὐτοὺς θνητοὺς γεγεννηκώς.

Ἴδε πῶς, ἔαρος φανέντος, 20
Χάριτες ῥόδα βρύουσιν·
Τὰ βροτῶν ἔλαμψεν ἔργα.

Φίλιππος, ἐπεὶ νικήσαντι τοὺς Ἕλληνας συνεβούλευον ἔνιοι φρουραῖς τὰς πόλεις κατέχειν, ἔφη, μᾶλλον πολὺν χρόνον ἐθέλειν χρηστὸς, ἢ δεσπότης ὀλίγον καλεῖσθαι.

Οὐχ ἡ εὐσέβεια συνθνήσκει βροτοῖς· 5
Κἂν ζῶσι, κἂν θανωσιν, οὐκ ἀπόλλυται.

Φωκίων πένης ἦν· Ἀλεξάνδρου δὲ πέμψαντος αὐτῷ τάλαντα ἑκατὸν, ἠρώτα, διὰ τινὰ αἰτίαν μοι δίδωσιν; ὡς δὲ εἶπον, ὅτι μόνον αὐτὸν ἡγεῖται Ἀθηναίων καλὸν καὶ ἀγα- 10 θόν· οὐκοῦν, ἔφη, ἐασάτω με τοιοῦτον εἶναι.

Λήσειν διὰ τέλους μὴ δόκει, πονηρὸς ὤν·
Ὀξὺς Θεοῦ δ' ὀφθαλμὸς εἰς τὰ πάνθ' ὁρᾷν.

Οἱ βασιλεῖς τῶν Αἰγυπτίων τὰς πυραμίδας ᾠκοδόμησαν, νομίζοντες διὰ τούτων τῶν ἔρ- 15 γων ἀθάνατον ἑαυτοῖς καταλείψειν τὴν μνήμην.

Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ·
Πολλῶν ὁ λιμὸς γίγνεται διδάσκαλος.

Κικέρωνος σφαγέντος ἐκέλευσεν Ἀντώνιος τήν 20 τε κεφαλὴν ἀποκοπῆναι, καὶ τὴν χεῖρα, ἣ τοὺς κατ' αὐτοῦ λόγους ἔγραψε.

Αἰὼν πάντα φέρει· δολιχὸς χρόνος οἶδεν ἀμείβειν
Οὔνομα, καὶ μορφὴν, καὶ φύσιν, ἠδὲ τύχην.

Γάϊος Καῖσαρ, λόγου παρὰ δεῖπνον ἐμπεσόντος
περὶ θανάτου, ποῖος ἄριστος,—ὁ ἀπροσδόκητος, εἶπε. 5

Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί·
Αὐτοὶ δ' ἁμαρτάνοντες οὐ γιγνώσκομεν.

Τῆς γυναικὸς, ἐπὶ μάχην ἐξιόντος Πελοπίδου,
δεομένης σώζειν ἑαυτὸν,—Ἄλλοις, ἔφη, δεῖ 10
τοῦτο παραινεῖν, ἄρχοντι δὲ καὶ στρατηγῷ
σώζειν τοὺς πολίτας.

Οὐκ ἔσθ' ὑγιείας κρεῖττον οὐδὲν ἐν βίῳ·
Ὑγίεια καὶ νοῦς, ἐσθλὰ τῷ βίῳ δύω.

Ἀγησίλαος, πυθομένου τινὸς τί ἐποίησαν οἱ Λυκούργου νόμοι τῇ Σπάρτῃ,—καταφρονεῖν, 15
ἔφη, τῶν ἡδονῶν.

Θεῷ εὔχου, ᾧ ἐστι μέγα κράτος· οὔτι ἄτερ Θεοῦ
Γίγνεται ἀνθρώποις οὔτ' ἀγάθ' οὔτε κακά. 20

Ὁ Ἡρακλῆς, πολλὴν τῆς Λιβύης ἐπελθὼν,

παρῆλθεν ἐπὶ τὸν Ὠκεανὸν, καὶ στῆλας ἔθετο καθ' ἑκατέραν τῶν ἠπείρων.

Ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
Μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου.

Πολλὰ Ὁμήρου ἐπαινοῦντες ἄλλα, τοῦτο οὐκ 5
ἐπαινεσόμεθα, τὴν τοῦ ἐνυπνίου πομπὴν ὑπὸ
Διὸς τῷ Ἀγαμέμνονι.

Δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ
Ζῶντι φθονῆσαι, κανθανόντα δ' αἰνέσαι.

Σωκράτης εἶπεν, οἱ ἄλλοι ἄνθρωποι ζῶσιν ἵνα 10
ἐσθίωσιν, αὐτὸς δὲ ἐσθίω ἵνα ζῶ.

Ὁ γὰρ Θεὸς βλέπει σε πλησίον παρὼν,
Ὃς ἔργοις δικαίοις ἥδεται, οὐκ ἀδίκοις.

Παρθένος πενιχρὰ ἐρωτηθεῖσα τίνα δίδωσι τῷ γαμοῦντι προῖκα,—τὴν πάτριον, εἶπε, σωφροσύνην.

Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃ,
Ζητῶν εὑρήσεις οὐ ῥόδον, ἀλλὰ βάτον.

Λεωνίδας, εἰπόντος τινὸς, πάρεισιν ἐγγὺς ἡμῶν

οἱ πολέμιοι,—οὔκουν, ἔφη, καὶ ἡμεῖς αὐτῶν ἐγγύς.

Νέος πεφυκὼς, πολλὰ χρηστὰ μάνθανε·
Νέος ὢν, ἀκούειν τῶν γεραιτέρων θέλε·
Νέῳ δὲ σιγᾷν μᾶλλον ἢ λαλεῖν πρέπει. 5

Λύσανδρος, ἐρωτήσαντός τινος ποίαν μάλιστα ἐπαινεῖ πολιτείαν,—ἥτις, ἔφε, τοῖς ἀνδρείοις καὶ δειλοῖς τὰ προσήκοντα ἀποδίδωσι.

Ἐλπὶς καὶ σὺ Τύχη, μέγα χαίρετε· τὸν λιμὲν εὗρον. 10
Οὐδὲν ἐμοὶ χ᾽ ὑμῖν· παίζετε τοὺς μετ ἐμέ.

Ἐν Ἰλίῳ θύοντι Ἀλεξάνδρῳ ἔφη ὁ ἱερεὺς δείξειν τὴν Πάριδος λύραν· ὁ δέ, τὴν Ἀχιλλέως, εἶπεν, εἰ ἔχεις, δεῖξον, καὶ πρό γε τῆς λύρας, τὴν μελίαν. 15

Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει
Μικρὰς, ἔπειτα δ᾽ ὕστερον λύπας μακράς.

Ἀνάχαρσις ἔφη τὸν μὲν πρῶτον κρατῆρα ὑγιείας πίνεσθαι, τὸν δὲ δεύτερον ἡδονῆς, τὸν δὲ τρίτον ὕβρεος, τὸν δὲ τελευταῖον μανίας. 20
Ὦ παῖ, σιώπα· πόλλ᾽ ἔχει σιγὴ καλά.
Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.

Ἂν τι πράξῃς καλὸν μετὰ πόνου, ὁ μὲν πόνος οἴχεται, τὸ δὲ καλὸν μένει· ἂν τι ποιήσῃς αἰσχρὸν μεθ᾽ ἡδονῆς, τὸ μὲν ἡδὺ οἴχεται, τὸ δὲ αἰσχρὸν μένει.

Τὸ, γνῶθι σαυτόν, ἐστιν, ἂν τὰ πράγματα Ἴδῃς τὰ σαυτοῦ, καὶ τί σοι ποιητέον. 5

Κάδμος ἐκ Φοινίκης ὑπὸ τοῦ βασιλέως ἀπεστάλη· ἐπελθὼν δὲ πολλὴν χώραν, καταντήσας εἰς τὴν Βοιωτίαν, ἔκτισε τὰς Θήβας.

Θεὸν νόμιζε, καὶ σέβου, ζήτει δὲ μή· 10
Ὡς ὄντα τοῦτον, καὶ παρόντ᾽ ἀεὶ σέβου·
Τί ἐστιν ὁ Θεὸς, οὐ θέλει σε μανθάνειν.

Φύσις μὲν ἔδησε σῶμα ἐν ψυχῇ, ψυχὴ δὲ αὐτὴν ἐν σώματι· φύσις μὲν λύει σῶμα ἐκ ψυχῆς, ψυχὴ δὲ αὐτὴν λύει ἀπὸ σώματος. 15

Ἕκτωρ Αἴαντι ξίφος ὤπασεν, Ἕκτορι δ᾽ Αἴας Ζωστῆρ᾽· ἀμφοτέρων ἡ χάρις εἰς θάνατον.

Πλάτων ἔφησεν ἐκ τοῦ πυρὸς εἶναι τὴν σελήνην, Ἀριστοτέλης ἴδιον αὐτὴν ἔχειν φῶς· Θαλῆς δὲ πρῶτος ἔφη ὑπὸ τοῦ ἡλίου αὐτὴν φωτίζεσθαι. 20

Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι· ἀλλά μοι εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Ἀγησίλαος ἐρωτώμενος διὰ τί μάλιστα παρὰ τοὺς ἄλλους εὐδαιμονοῦσιν οἱ Σπαρτιᾶται, —διότι, εἶπε, παρὰ τοὺς ἄλλους ἀσκοῦσιν ἄρχειν τε καὶ ἄρχεσθαι. 5

Ἄνθρωπος ὤν, γίγνωσκε τῆς ὀργῆς κρατεῖν·
Βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών·
Ὀργὴ δὲ πολλὰ δρᾷν ἀναγκάζει κακά.

Πάντες, ὅσοι σωφροσύνης μετέχουσιν, ἐπὶ πάσῃ ὁρμῇ καὶ μικροῦ καὶ μεγάλου πράγματος Θεὸν ἀεὶ καλοῦσι. 10

Γαῖα μὲν ἐν κόλποις κρύπτει τόδε σῶμα Πλάτωνος,
Ψυχὴ δ' ἀθανάτων τάξιν ἔχει μακάρων. 15

Ὁ Πυθαγόρου λόγος ἦν, ὅτι αἱ ψυχαὶ τῶν ἀνθρώπων ἀθάνατοί εἰσι, καὶ δι' ἐτῶν ὡρισμένων πάλιν βιοῦσιν, εἰς ἕτερον σῶμα τῆς ψυχῆς εἰσδυομένης.

Κάτθανον, ἀλλὰ μένω σε· μενεῖς δέ τε καὶ σύ τιν' ἄλλον. 20
Πάντας ὅμως θνητοὺς εἰς ἀΐδης δέχεται.

Οἱ Βρεττανοὶ ἅρμασι κατὰ τοὺς πολέμους ἐχρῶντο, καθάπερ οἱ παλαιοὶ τῶν Ἑλλήνων ἥρωες ἐν τῷ Τρωϊκῷ πολέμῳ κεχρῆσθαι παραδέδονται.

Εὗρε φύσις, μόλις εὗρε· τεκοῦσα δ' ἐπαύσατο μόχθων, 5
Εἰς ἕνα μοῦνον Ὅμηρον ὅλην τρέψασα μενοινήν.

Ὁ Ἀννίβας, νέος ὢν ἔτι, Ἰβηρίας τε ἐκράτησε,
καὶ στρατῷ τὰ Ἄλπεια ὄρη μεθ' Ἡρακλέα 10
πρῶτος ὑπερῆλθεν· εἴς τε τὴν Ἰταλίαν ἐμβαλὼν, τετρακόσια ἀνέστησεν ἄστη.

Ἂν μὲν ἀπόντα λέγῃς με κακῶς, οὐδέν γ' ἀδικεῖς με·
Ἂν δὲ παρόντα καλῶς, ἴσθι κακῶς με λέγων. 15

Ὁ κροκόδειλος ἐξ ἐλαχίστου γίνεται μέγιστος: μακροβίος μέν ἐστι, γλῶτταν δὲ οὐκ ἔχει· σαρκοφάγει δὲ οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ τῶν ἄλλων ἐπὶ τῆς γῆς ζώων τὰ προσπελάζοντα τῷ ποταμῷ. 20

Ἀπόλοιτο πρῶτος αὐτὸς,
Ὁ τὸν ἄργυρον φιλήσας·

Διὰ τοῦτον οὐκ ἀδελφός·
Πόλεμοι, φόνοι δι' αὐτόν.

Ῥωμαῖοι πρεσβεῖς εἰς Καρχηδόνα ἔπεμπον· ὁ δὲ πρεσβευτὴς ἔφη, τὸν κόλπον ἐπιδεικνύς· ἐνταῦθ' ὑμῖν, ὦ Καρχηδόνιοι, καὶ τὴν εἰρήνην καὶ τὸν πόλεμον φέρω. Οἱ δὲ ἔφασαν, σὺ μὲν οὖν, ἃ βούλει, δίδου. Προτείναντος δὲ αὐτῷ τὸν πόλεμον, ἐβόησαν ὁμοῦ πάντες, δεχόμεθα.

Μὴ ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

Ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατόν. Ὡς δὲ ἑώρα πάντα τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν κεκρυμμένον, καὶ τὰ πεδία πλέα ἀνθρώπων, ἐνταῦθα ὁ Ξέρξης ἑαυτὸν ἐμακάρισε· μετὰ δὲ τοῦτο, ἐδάκρυσε· ὡς βραχύς, εἶπεν, ὁ πᾶς ἀνθρώπινος βίος ἐστίν, εἰ τούτων, ὄντων τοσούτων, οὐδεὶς εἰς ἑκατοστὸν ἔτος περίεσται.

Ἡ γῆ μέλαινα πίνει,
Πίνει δὲ δένδρε αὐτήν·
Πίνει θάλασσα δ' αὔρας,
Ὁ δ' ἥλιος θάλασσαν,
Τὸν δ' ἥλιον σελήνη. 5

Ὀρφεὺς ᾅδων ἐκίνει λίθους τε καὶ δένδρα· αποθανούσης δὲ Εὐρυδίκης τῆς γυναικὸς αὐτοῦ, δηχθείσης ὑπ' ὄφεως, κατῆλθεν εἰς ᾅδου, θέλων ἀγαγεῖν αὐτήν· καὶ Πλούτωνα ἔπεισεν ἀναπέμψαι· ὁ δὲ ὑπέσχετο τοῦτο ποιήσειν, 10 ἂν μὴ πορευόμενος Ὀρφεὺς ἐπιστραφῇ, πρὶν εἰς τὴν οἰκίαν αὐτῷ παραγενέσθαι· ὁ δέ, ἀπιστῶν, ἐπιστραφεὶς ἐθεάσατο τὴν γυναῖκα· ἡ δὲ πάλιν ὑπέστρεψε.

Μῦν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ, 15
Καὶ, τί ποιεῖς, φησὶν, φίλτατε μῦ, παρ' ἐμοί;
Ἠδὺ δ' ὁ μῦς γελάσας, μηδέν, φίλε, φησὶ, φοβηθῇς·
Οὐχὶ τροφῆς παρὰ σοὶ χρήζομεν, ἀλλὰ μονῆς.

Ὁ Σεσόωσις ὁ βασιλεὺς τῶν Αἰγυπτίων ἐστράτευσεν ἐπ' Αἰθίοπας, καὶ καταπολεμήσας, ἠνάγκασε τὸ ἔθνος φόρους τελεῖν, ἔβενον καὶ χρυσὸν, καὶ τῶν ἐλεφάντων τοὺς ὀδόντας· 20

ἔπειτ᾽ εἰς τὴν ἐρυθρὰν θάλασσαν ἀπέστειλε στόλον νέων, πρῶτος μακρὰ σκάφη ναυπηγησάμενος· κατεστρέψατο πᾶσαν τὴν Ἀσίαν· τὸν Γάγγην ποταμὸν διέβη, καὶ τὴν Ἰνδικὴν ἐπῆλθε πᾶσαν ἕως Ὠκεανοῦ, καὶ τὰ τῶν Σκυθῶν ἔθνη μέχρι Τανάϊδος ποταμοῦ, τοῦ διορίζοντος τὴν Εὐρώπην ἀπὸ τῆς Ἀσίας.

Ἄριστον μὲν ὕδωρ· ὁ δὲ
Χρυσὸς, αἰθόμενον πῦρ
Ἅτε διαπρέπει νυ-
κτὶ, μεγάνορος ἔξοχα πλούτου.

Σφὶγξ, δίμορφον θηρίον, παραγενομένη εἰς τὰς Θήβας, αἴνιγμα προτίθησι τῷ δυναμένῳ λῦσαι· προτιθεμένου δὲ ἐπάθλου τῷ λύσαντι, γαμεῖν τὴν Ἰοκάστην, καὶ βασιλεύειν τῶν Θηβῶν· ἦν δὲ τὸ προτεθὲν ὑπὸ τῆς Σφιγγὸς, τί ἐστι τὸ αὐτὸ δίπουν, τρίπουν, καὶ τετράπουν· μόνος δὲ ὁ Οἰδίπους ἔλυσε τὸ αἴνιγμα, καὶ ἀπεφήνατο ἄνθρωπον εἶναι τὸ προβληθέν· νήπιον μὲν γὰρ αὐτὸν ὑπάρχοντα, τετράπεν εἶναι· αὐξήσαντα δὲ δίπουν· γηράσαντα δὲ τρίπουν, βακτηρίᾳ χρώμενον διὰ τὴν ἀσθένειαν.

Ὑγίεια, πρεσβίστη μακάρων,
Μετὰ σοῦ ναίοιμι
Τὸ λειπόμενον βιοτῆς·
Σὺ δ' ἐμοὶ πρόφρων σύνοικος εἴης.

Ἐπεὶ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν γένος ἠθέλησε, 5 Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύῤῥας εἰσέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας, τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας 10 ἀνθρώπους. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φέρεται ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας. Καὶ τῶν ὄμβρων παυσαμένων, ἐκβὰς ἔθυσε Διί. Ζεὺς δέ, πέμψας Ἑρμῆν πρὸς αὐτὸν, ἐπέτρεψεν αἰτεῖσθαι ὅ τι 15 βούλεται· καὶ Διὸς εἰπόντος, ὑπὲρ κεφαλῆς αἴρων ἔβαλλε τοὺς λίθους· καὶ οὓς μὲν ἔβαλλεν ὁ Δευκαλίων, ἄνδρες ἐγένοντο· οὓς δὲ Πύῤῥα, γυναῖκες· ὅθεν καὶ λαοὶ ὠνομάσθησαν ἀπὸ τοῦ λᾶας. 20

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν,
Μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς.
Τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρὸν,
Μὴ δ' ἂν σφόδρ' εἴπῃ πολλὰ, καὶ πολὺν χρόνον.

Τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε·
Οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
Ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν.

Αἰσθόμενός ποτε ὁ Σωκράτης τὸν υἱὸν ἑαυτοῦ πρὸς τὴν μητέρα χαλεπαίνοντα, εἶπέ μοι, ἔφη, ὦ παῖ, οἶσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους;—καὶ μάλα, ἔφη ὁ νεανίσκος, — καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο καλοῦσιν;—ἔγωγε, ἔφη· τοὺς γὰρ εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι, μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν.—οὔκουν δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους; —ἔμοιγ', ἔφη.—Οὔκουν, εἴγε οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία;—συνωμολόγει.—οὔκουν ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη.—συνέφη καὶ τοῦτο—Τίνας οὖν, ἔφη ὁ Σωκράτης, ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα εὐεργετημένους, ἢ παῖδας ὑπὸ γονέων; ἆρ' οὖν εἴ σε ὑπολάβοιεν οἱ ἄνθρωποι πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν, εὖ σε ποιήσας χάριν ἀπολήψεσθαι.

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί.
Ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
Οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.
Παῦροί μιν θνητοὶ οὔασι δεξάμενοι
Στέρνοις ἐγκατέθεντο· πάρεσι γὰρ ἐλπὶς ἑκάστῳ, 5
Ἀνδρῶν ἥ τε νέων στήθεσιν ἐμφύεται.

Πατρὸς μὲν δὴ λέγεται ὁ Κῦρος γενέσθαι Καμβύσου, Περσῶν βασιλέως, μητρὸς δὲ Μανδάνης· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων βασιλέως. Μετε- 10 πέμψατο δὲ Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα, καὶ τὸν παῖδα αὐτῆς, ἔτη δώδεκα γεγονόντα. Ἔρχεται δὲ αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα, καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα. Ὡς δὲ ἀφίκετο, καὶ ἔγνω ὁ 15 Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς ἠσπάζετό τε αὐτὸν, καὶ ὁρῶν τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων αὐτῷ, ἔλεγεν,—ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος.—Ἐρωτώσης δὲ τῆς μητρὸς αὐτὸν, πό- 20 τερος δοκεῖ καλλίων αὐτῷ εἶναι, ὁ πατὴρ ἢ οὗτος· ἀπεκρίναιο ἄρα ὁ Κῦρος,—ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατὴρ, Μήδων δὲ πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος. Ἀσπαζόμενος δὲ αὐτὸν 25

ὁ Ἀστυάγης, καὶ στολὴν καλὴν ἐνέδυσε, καὶ ἐφ᾽ ἵππου περιῆγεν. Ὁ δὲ Κῦρος ἥδετο τῇ στολῇ, καὶ ἱππεύειν μανθάνων ἔχαιρε. Δειπνῶν δὲ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, προσήγαγεν αὐτῷ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. Ὅ δὲ Κῦρος ἔλεγεν, ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάνια ταῦτα διατείνειν τὰς χεῖρας, καὶ ἀπογεύεσθαι πάντων τῶν παντοδαπῶν βρωμάτων.—Τί δέ; ἔφη ὁ Ἀστυάγης, οὐ γὰρ πολύ σοι δοκεῖ κάλλιον τόδε τὸ δεῖπνον εἶναι τοῦ ἐν Πέρσαις;— Ὁ δὲ Κῦρος πρὸς ταῦτα ἀπεκρίνατο,— Οὐχί, ὦ πάππε· ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ᾽ ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι, ἢ παρ᾽ ὑμῖν. Ἡμᾶς μὲν γὰρ ἄρτος καὶ κρέας εἰς τοῦτο ἄγει· ὑμεῖς δέ, πολλοὺς ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι, μόλις ἀφικνεῖσθε ὅποι ἡμεῖς πάλαι ἥκομεν.—Ὁ δὲ Κῦρος, λαβὼν τῶν κρεῶν, διεδίδου τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς, ἐπιλέγων ἑκάστῳ· σοὶ μὲν τοῦτο, ὅτι προθύμως με ἱππεύειν διδάσκεις·—σοὶ

δὲ, ὅτι μοι πάλιον ἔδωκας.—σοὶ δὲ, ὅτι τὸν πάππον καλῶς θεραπεύεις·—σοὶ δὲ, ὅτι μου τὴν μητέρα τιμᾷς.—Σάκᾳ δὲ, ἔφη ὁ Ἀστυάγης, τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ, οὐδὲν δίδως;—Ὁ δὲ Κῦρος ἔφη, διὰ τί, ὦ πάππε, τοῦτον οὕτω τιμᾷς;—Καὶ ὁ Ἀστυάγης, οὐχ ὁρᾷς, ἔφη, ὡς καλῶς οἰνοχοεῖ;—Κέλευσον δὴ, ἔφη, ὦ πάππε, τῷ Σάκᾳ καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα.—Καὶ ὁ ἐκέλευσε δοῦναι.—Λαβὼν δὲ ὁ Κῦρος, σπουδαίως καὶ εὐσχημόνως προσήνεγκε τὴν φιάλην τῷ πάππῳ, ὥστε τῇ μητρὶ καὶ τῷ Ἀστυάγῃ πολὺν γέλωτα παρασχεῖν. Καὶ ὁ Κῦρος γελάσας ἀνεπήδησε πρὸς τὸν πάππον, καὶ εἶπε, ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε τῆς τιμῆς· τά τε γὰρ ἄλλα, ἔφη, σοῦ κάλλιον οἰνοχοήσω, καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον.—Ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἔφη, καί τί δὴ, ὦ Κῦρε, τὰ ἄλλα μιμούμενος τὸν Σάκαν, οὐκ ἐξέπιες τοῦ οἴνου;—Ὅτι νὴ Δί', ἔφη, ἐδεδοίκειν μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. Ὅτε γὰρ εἱστίας σὺ τοὺς φίλους, σαφῶς ἔμαθον φάρμακα αὐτὸν ὑμῖν ἐγχέαντα.—Καὶ πῶς δὴ, ἔφη, σὺ, ὦ

παῖ, τοῦτο κατέγνως;—Ὅτι νὴ Δί', ἔφη, ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν γὰρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δὲ οὐδὲ ἓν ἀλλήλων· ἤδετε δὲ καὶ μάλα γελοίως. Λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἐπεὶ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι, ἐδύνασθε. Ἐπιλέλησθε δὲ παντάπασι, σύ τε ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι ὅτι σὺ ἄρχων. —Καὶ ὁ Ἀστυάγης εἶπεν, ὁ δὲ σὸς πατὴρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται;—Οὐ μὰ Δί', ἔφη.—Ἀλλὰ πῶς ποιεῖ;—Διψῶν παύεται· ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γὰρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ.—Καὶ ἡ μήτηρ εἶπεν, ἀλλὰ τί ποτε σὺ, ὦ παῖ, οὕτω τῷ Σάκᾳ πολεμεῖς; —Ὁ δὲ Κῦρος εἶπεν, ὅτι, νὴ Δία, μισῶ αὐτόν· πολλάκις γάρ με, πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν, οὗτος ὁ μιαρώτατος ἀποκωλεύει.

DIRECTIONS AND EXPLANATIONS.

Page. Line.

1, 4. σφῶϊ dual nom. of σύ.

6. ἡμεῖς plur. nom. of ἐγώ, ὑμεῖς of σύ.

8. παῖδες nom. pl. of παῖς.

11. The article expresses either particular excellence, a distinction of one thing from another, or a reference to something, that had been mentioned before. Thus ὁ θεός signifies *The Great God*; ἡ ἀρετὴ *virtue*, that excellent quality: ὁ Κῦρος that great man *Cyrus*; τὸν ψευδῆ the liar, distinguished from the person, who speaks truth. When the article expresses excellence, it is commonly omitted in English, as *God*, *virtue*, *Cyrus*.

2, 3. λέοντε dual nom. of λέων.

9. ἀλλήλους acc. pl. of the triptote, ἀλλήλων.

11. τινὲς nom. pl. of τίς.

15. ἀληθῆ from ἀληθης, acc. pl. neuter, ἀληθέα, contracted into ἀληθη. It agrees with χρήματα *things*, understood. This ellipsis is sometimes supplied, as ἄνθρωπος σοφὸν χρῆμα, *man* is a *wise thing*.

17. τί, acc. of τίς, an interrogative pronoun, governed by the prep. διά, understood; διὰ τι; *why?*

22. λαίλαπα acc. of λαίλαψ.

23. πάντα *all things*, acc. pl. neuter of πᾶς.

24. ἐλπίσι dat. pl. of ἐλπὶς.

25. αἶγα acc. of αἴξ.

Page. Line.

3, 1. ἀθάναιος immortal: α is called *privative*, and signifies *not;* it is put for ἄνευ, *without.* It is the same as the Latin *in* in *injustus*, and the English *in* or *un* in *infirm*, *unjust.*

8. χωρὶς δαίμονος *without a Deity.* Adverbs of time, place, quantity, order, cause, exception and the like, are often followed by a Genitive.

11. ὄρεα acc. pl. of ὄρος.

12. ἔρωτα acc. sing. of ἔρως.

13. ἀκμάζει τὰ ἄνθη. Ἄνθεα, ἄνθη nom. pl. of ἄνθος. A neuter plural is generally joined with a Verb singular. Thus in Homer ὄρεα ἔτρεμε, *mountains trembled.*

14. ἤθη acc. pl. of ἦθος. A passage from Menander, quoted by St. Paul 1 Cor. 15: 33.

15. τε, καὶ, *both, and.*

17. *Part of time* is put in the Genitive, sometimes in the Dative governed by ἐν.

18. To find in the Lexicon verbs beginning with ε, it is generally necessary to consider ε as the syllabic augment, and to drop it. Thus for ἔλειπον imperf. ind. the learner must find λείπω; for ἔλεγες, imperf. or 2 aor. ind. λέγω; for ἐδίωκε, διώκω, &c. In Verbs beginning with η, that vowel must generally be considered as the temporal augment for α or ε; thus for ἦγε the learner must find ἄγω, for ἠκόντιζον, ἀκοντίζω, for ἤγειρε, ἐγείρω. In the Perfect, and the tenses formed from it, the Reduplication must be dropped; thus for γέγραφα, γράφω must be found.

4, 5. ἄξω 1 fut. of ἄγω.

7. ποιήσω 1 fut. of ποιεω; in contract verbs α and ε of the pres. are generally changed into η, and ο into ω, in the future.

8. δράσεις 1 fut. of δραω: the α of this verb is not changed into η in the future.

10. Verbs signifying to *accompany* or *follow* are followed by a Dative.

13. The Genitive of *Personal*, is used instead of the *Possessive*, Pronouns; thus, instead of saying *my son*, the Greeks usually say *the son of me.*

Page. Line.

5, 1. ἤκουσα 1 aor. of ἀκούω. Verbs signifying the *senses*, except sight, or the *passions* are followed by a Genitive.

2. ἐλάλησε takes ν, to avoid the hiatus occasioned by the meeting of two vowels at the end of one word, and at the beginning of another. Thus ν is added to Datives plural in σι, and to verbs of the third person in ε and ι, when the next word begins with a vowel.

4. ἠγόρασα 1 aor. of ἀγοράζω.

7. ὤπασε 1 aor. of ὀπαζω.

16. ἥρπασε 1 aor. of ἁρπάζω.

17. ἔκλεψε 1 aor. of κλέπτω.—ἃς *quas*, in the fem. because in a herd *cows* form the greater number: thus *boves per dolum amotas*, Hor. *ille meas errare boves*, Virg.—ἔνεμεν, imperf. ind. of νέμω; the 1 aor. is ἐνείμα.

22. αὐτοῦ for ἑαυτοῦ *of himself*.—τῶν μαθητῶν αὐτοῦ *discipulorum suorum*; τῶν μαθητῶν αὐτοῦ *discipulorum ejus*.

24. ἤνοιξε 1 aor. of ἀνοίγω.

6, 6. πάντα τὰ, ὄντα und. *all things being*, i. e. *all things that are*.

7. γέγραφα perf. of γράφω. So σέσωκε of σώζω, and πέφυκε of φύω; but to form the augment, if the initial consonant of the Verb is an *Aspirate*, it must be changed into the corresponding soft, as φύω πέφυκα, φιλέω πεφίληκα.

8. φύω *to bring forth*, in the perfect signifies *to be born*, or *to be inclined by nature*.

10. μεμίσηκα expresses the general sense of the perfect, *I have hated, and still hate*. Thus in Ovid, *Nunc quoque in alitibus facundia prisca remansit*.

12. ἀλλ' for ἀλλά.

13. ἐγεγράφει pluperf. of γράφω. So ἐπεφύκει of φύω, ἐδεδειπνήκεσαν of δειπνέω, ἐτετελευτήκεσαν of τελευτάω.

15. The common form of the third pers. plur. of the plup. in the ancient Greek writers is εσαν, not εισαν.

17. ἔφυγον 2 Aor. of φεύγω. The penultima of the 2 Aor. is shortened in vowels by the change of ευ

Page.	Line.	
		into *υ*, as *φεύγω, ἔφυγον*, of *ει* into *ι*, as *λείπω, ἔλιπον*, of *ει* into *α*, as *κτείνω, ἔκτανον*.
6,	18.	*ἔκτανες* 2 Aor. of *κτείνω*, *ἔτραπε* of *τρέπω*, *ἔφραδε* of *φράζω*, *ἔταμε* of *τέμνω*, *ἔφθαρε* of *φθείρω*.
7,	13.	*σπεῦδε βραδέως festina lentè.*
	22.	*φράσον* 1 Aor. imper. of *φράζω*, *σῶσον* of *σώζω*, *μεῖνον* of *μένω*, &c.
8,	1.	*μετὰ* before a vowel loses *α* by elision: *τ* before the aspirate vowel *ἡ* is changed into *θ*. When an apostrophe takes place, a soft mute, before an aspirate vowel, or diphthong, is changed into its corresponding aspirate: thus for *ἀπὸ οὗ, ἀπ' οὗ* is changed into *ἀφ' οὗ*.
	3.	The Aorists imperative and infinitive are often used in the sense of the present.
	6.	*λίπε* 2 Aor. imper. of *λείπω*.
	11.	*δι'*, before a vowel, for *διά*. So *ἐπ'* for *ἐπὶ*, *ὑπ'* for *ὑπὸ*, &c. *βασιλεύοις*, pres. opt.
	13.	*πράξῃς* 1 aor. subj. of *πράσσω*; *ὀνειδίσῃς* of *ὀνειδίζω*.
	16.	*κἂν* for *καὶ ἂν etsi, even if, although.*
	17.	*φύγω* 2 Aor. subj. of *φεύγω*, *κτάνητε* of *κτείνω*.
	22.	*αὐτὸν* for *σεαυτὸν thyself.*
	23.	*ἔτη* acc. duration of time, as in Latin.
	24.	*τετελευτηκότα* perf. part. of *τελευτάω*.
9,	9.	*νένιμμαι* perf. pass. of *νίπτω*, *πέφανται* of *φαίνω*, *πέπαυται* of *παύω*, *πεπλήρωται* of *πληρόω*, &c.
	19.	*ἐτέτραπτο* plup. pass. of *τρέπω*, *ἐπεφόβηντο* of *φοβέω*.
	21.	*πεπράξεται* paulo post fut. of *πράσσω*, *λελείψεται* of *λείπω*.
	23.	*ἠγέρθη* 1 Aor. pass. of *ἐγείρω*, *ἐσκοτίσθη* of *σκοτίζω*, *ὤφθη* of *ὄπτομαι*, formed from *ὄπτω*, *ἐκινήθη* of *κινέω*, *ἐκτίσθη* of *κτίζω*, &c.
10,	5.	*σωθήσῃ* 1 fut. pass. of *σώζω*, *λαληθήσεται* of *λαλέω*, *κριθήσεται* of *κρίνω*, &c.
	9.	*ἐφάνη* 2 Aor. pass. of *φαίνω*, *ἐδάμη* of *δαμάω*, *ἐφθάρη* of *φθείρω*.

Page. Line.

10, 10. Verbs of a Passive signification are followed by a Genitive governed by ὑπὸ, ἀπὸ, ἐκ, παρὰ, πρός.

14. φανήσεται 2 fut. pass. of φαίνω.—ἰσχυρότερον χρῆμα *a stronger thing.*

16. φανείη 2 Aor. opt. pass. of φαίνω.

19. τεταραγμένοι perf. part. pass. of ταράσσω, γεγραμμένη of γράφω, πεπραγμενα of πράσσω, ἡμμένας of ἅπτω.

11, 1. The Middle Voice signifies what we do *to ourselves*, or *for ourselves.* Thus τρέπω, Active, *I turn;* τρέπομαι, Passive, *I am turned;* τρέπομαι, Middle, *I turn myself.* Λούω, Active, *I wash;* λούομαι, Passive, *I am washed;* λούομαι, Middle, *I wash myself*, or *I bathe;* Γεύω, Active, *I make another to taste;* γεύομαι, Passive, *I am made to taste by another;* γεύομαι, Middle, *I make myself taste*, or *I taste.*

2. νιφθῆναι 1 Aor. pass. inf. of νίπτω.

